τὰ κεραμικὰ συντριβήσεται· ὡς κἀγὼ εἴληφα
παρὰ τοῦ πατρός μου. καὶ δώσω αὐτῷ τὸν ἀστέρα τὸν πρω-
ϊνόν. ὁ ἔχων οὖς ἀκουσάτω, τί τὸ πνεῦμα λέγει ταῖς ἐκ-
κλησίαις. Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Σάρδεσιν ἐκκλησίας, γ.
γράψον· τάδε λέγει ὁ ἔχων τὰ ἑπτὰ πνεύματα τοῦ θεοῦ·
καὶ τοὺς ἑπτὰ ἀστέρας. οἶδά σου τὰ ἔργα, ὅτι ὄνομα ἔ-
χεις ὅτι ζῇς καὶ νεκρὸς εἶ. γίνου γρηγορῶν. καὶ στήρι-
σον τὰ λοιπὰ ἃ ἔμελλες ἀποβάλλειν. οὐ γὰρ εὕρηκά
σου τὰ ἔργα πεπληρωμένα ἐνώπιον τοῦ θεοῦ μου.
μνημόνευε οὖν πῶς εἴληφας καὶ μετανόησον. Ἐὰν
οὖν μὴ γρηγορήσῃς, ἥξω ἐπὶ σὲ ὡς κλέπτης. καὶ οὐ μὴ
γνῷς ποίαν ὥραν ἥξω ἐπὶ σέ. ἀλλ' ὀλίγα ὀνόματα ἔ-
χεις ἐν Σάρδεσιν, ἃ οὐκ ἐμόλυναν τὰ ἱμάτια αὐτῶν.
καὶ περιπατήσουσι μετ' ἐμοῦ ἐν λευκοῖς ὅτι ἄξιοί εἰσιν.
ὁ νικῶν οὗτος περιβαλεῖται ἐν ἱματίοις λευκοῖς.
καὶ οὐ μὴ ἐξαλείψω τὸ ὄνομα αὐτοῦ ἐκ τῆς βίβλου τῆς ζωῆς.
καὶ ὁμολογήσω τὸ ὄνομα αὐτοῦ ἐνώπιον τοῦ πατρός μου.
καὶ ἐνώπιον τῶν ἀγγέλων αὐτοῦ. ὁ ἔχων οὖς ἀκουσά-
τω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις. Καὶ τῷ ἀγγέλῳ
τῆς ἐν Φιλαδελφείᾳ ἐκκλησίας γράψον· τάδε λέγει
ὁ ἅγιος ὁ ἀληθινός. ὁ ἔχων τὴν κλεῖν τοῦ Δαβίδ. ὁ ἀ-
νοίγων καὶ οὐδεὶς κλείσει αὐτὴν εἰ μὴ ὁ ἀνοίγων, καὶ
οὐδεὶς ἀνοίξει. οἶδά σου τὰ ἔργα. ἰδοὺ δέδωκα ἐνώ-
πιόν σου θύραν ἠνεῳγμένην. ἣν οὐδεὶς δύναται κλεῖ-
σαι αὐτήν. ὅτι μικρὰν ἔχεις δύναμιν, καὶ ἐτήρησάς μου
τὸν λόγον, καὶ οὐκ ἠρνήσω τὸ ὄνομά μου. ἰδοὺ δίδωμι ἐκ
τῆς συναγωγῆς τοῦ σατανᾶ. τῶν λεγόντων ἑαυτοὺς ἰου-
δαίους εἶναι καὶ οὐκ εἰσίν, ἀλλὰ ψεύδονται. ἰδοὺ ποι-
ήσω αὐτοὺς ἵνα ἥξωσι καὶ προσκυνήσωσιν ἐνώπιον
τῶν ποδῶν σου, καὶ γνῶσιν ὅτι ἐγὼ ἠγάπησά σε. ὅτι ἐτήρησας τὸν
λόγον τῆς ὑπομονῆς μου. κἀγώ σε τηρήσω ἐκ τῆς
ὥρας τοῦ πειρασμοῦ τῆς μελλούσης ἔρχεσθαι ἐπὶ
τῆς οἰκουμένης ὅλης, πειράσαι τοὺς κατοικοῦντας
ἐπὶ τῆς γῆς. ἔρχομαι ταχύ. κράτει ὃ ἔχεις. ἵνα
μηδεὶς λάβῃ τὸν στέφανόν σου. ὁ νικῶν ποιήσω αὐτὸν.

http://digital.slub-dresden.de/ppn345497910/11